TEZAUR LITURGIC

2 IULIE

NIKODIMOS AERAKIS

PARACLISUL SF.IERARH JUVENALIE, PATRIARHUL IERUSALIMULUI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

2 ΙΟΥΛΙΟΣ
ΙΟΥΒΕΝΑΛΙΟΣ ΙΕΡΟΣΟΛΥΜΩΝ
ΠΑΡΑΚΛΗΣΙΣ

Ποίημα Ἀρχιμανδρίτου Νικοδήμου Ἀεράκη

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.

Ψαλμός ρμβ' (142).

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

Εἶτα τὸ τροπάριον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἰουβέναλιος ποιμὴν θείοις ὕμνοις, ἀνευφημεῖται ὑφ' ἡμῶν Ἱεράρχης, Σιὼν τῆς πρώτης πόλεως πιστῶν τοῦ Χριστοῦ. Χάριτι κατακοσμούμενος, Ὀρθοδόξους φρουρεῖ πστῶς, νίκας χορηγῶν αὐτοῖς, κατὰ λαοπλάνων, καὶ διὰ λόγου δόγματα σεπτά, πᾶσι κηρύττει, Πατέρων ὢν κλεΐσμα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμός ν' (50).

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἰουβενάλιου, γεραίρω ᾄσμασι. Νικοδήμου.*

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἰσχὺν τὴν τοῦ Πνεύματος ἐκζητῶ, ὑμνῆσαι ἐνθέως, τὸν φαεινόν, Σιὼν τῆς ἁγίας πολιοῦχον, Ἰουβενάλιον θεῖον διδάσκαλον.

Ὁ πέμπτων τὸ Πνεῦμά σου μαθηταῖς, κατάπεμψον Λόγε, ταπεινότητι τῇ ἐμῇ, ἐν ᾄσμασιν ἐνθέοις, Ἰουβενάλιον πρόμαχον πίστεως.

Ὑπόπτερος γέγονεν ἐν Σιὼν, λαβὼν θείαν χάριν, τοῦ κηρύττειν ἐπακριβῶς, δογμάτων τὰς θείας ἀληθείας, Ἰουβενάλιος πλάνης ἀντίπαλος.

Θεοτοκίον.

Βασίλισσα πέλεις τῶν οὐρανῶν, ἁγνὴ Θεοτόκε, καὶ μεσίτρια πρὸς Θεόν· δυσώπει σωθῆναι τοὺς τιμῶντας, τοῦ Ἱεράρχου Σιὼν μνήμην ἔκλαμπρον.

Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ἐπιζητῶν μετὰ δέους, τὴν σωτηρίαν σου Ἅγιε, ἔφραξας τὰ στόματα πλάνης, Ἰουβενάλιε, ἐμμελετῶν εὐσεβῶς, Χριστολογίας τὸ δόγμα, καὶ κηρύττων ἅπασι, Χριστὸν Θεάνθρωπον.

Νικητὴς ἀνεδείχθης, αἱρετικῶν ἔνδοξε, καταπολεμῶν θεομάχους, Ἰουβενάλιε, καὶ διὰ λόγων σοφῶν, τοὺς Ὀρθοδόξους στηρίζων, καὶ Πατέρων Σύνοδον, κυρώσας πάντιμε.

Ἀνυμνοῦμέν σε πάντες, τὸν τῆς Σιὼν ἔφορον, τῆς Ὀρθοδοξίας τὸν στῦλον, Ἰουβενάλιον, ἐπιζητοῦντες τὰς σας, πρὸς τὸν Χριστὸν ἱκεσίας, τοῦ λαβεῖν τὴν ἄφεσιν, καὶ μέγα ἔλεος.

Θεοτοκίον.

Λαμπροτάτη Παρθένε, τῶν μοναχῶν καύχημα, καὶ σεμνῶν μητέρων ὁ κόσμος, σωφρόνων ἕδρασμα, ἐν τῇ ἁγνείᾳ τῇ Σῇ, τοὺς εὐσεβεῖς περικράτει, Σαῖς λιταῖς πρὸς Κύριον, Θεομακάριστε.

Διάσωσον, Ἰουβενάλιε πάντας ἡμᾶς Ἱεράρχα, ὅτι πέλεις πρὸς τὸν Θεὸν μεσίτην πανένδοξε, καὶ φύλαξον Πάτερ Σιὼν σὴν πόλιν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Τὰ ἄνω ποθῶν, τῶν κάτω κατεφρόνησας, καὶ ζήλῳ Θεοῦ, δογμάτων κατενόησας, ἀληθείας ἔνδοξε, ὑπὲρ ὧν ἀξίως ἠγώνισαι· καὶ νῦν ἀπαύστως ἐν οὐρανοῖς, πρεσβεύεις τῷ Λόγῳ, ὑπὲρ πάντων ἡμῶν.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἰουβενάλιον ἔλαβεν, ἐν αἰωνιότητι στέφος ἄφθιτον, καὶ χαρὰν τὴν ἀνεκλάλητον, καὶ ζωὴν τῆς χάριτος τὴν ἄῤῥητον.

Ὁδηγήσας πρὸς Κύριον, τὸν λαὸν Σιὼν ὦ Ἰουβενάλιε ἀνεφάνης ἐν τοῖς πράγμασιν, Ἐκκλησίας φύλαξ ἀπροσμάχητος.

Νικηφόρος ἐν Πνεύματι, ἀνεδείχθης ὄντως Ἰουβενάλιε, καταλύσας τῶν αἱρέσεων, καὶ τῆς πλάνης δόγματα τὰ ἄθεα.

Θεοτοκίου.

Γυναικὸς ἀρὰν ἄρασα, καὶ τὴν εὐλογίαν αὐτῇ δωρήσασα, Θεοτόκε τῇ κυήσει Σου, ὑπερτέρα τῶν Ἀγγέλων γέγονας.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἔκχεον ἡμῖν, χάριν σὴν Ἰουβενάλιε, ταῖς ἱκεσίαις σου πρὸς τὸν Ἰησοῦν, ἵνα τηρῶμεν, τὰ θεῖα αὐτοῦ προστάγματα.

Ῥᾶνον ἐφ᾽ ἡμᾶς, ἀρετῶν σου ἄνθη εὔοσμα, καὶ τοῦ Κυρίου μῦρον τὸ σωστικόν, ταῖς σαῖς πρεσβείαις, πρὸς Λόγον Ἰουβενάλιε.

Ἅγνισον Χριστέ, Ὀρθοδόξων τὰ συστήματα, καὶ Ἐκκλησίαν σου περιτείχισον Ἰησοῦ, τοῦ Ἱεράρχου, πρεσβείαις καὶ παρακλήσεσιν.

Θεοτοκίου.

Ἴσχυσας ἁγνή, Παναγία ἐν τῷ Τόκῳ Σου, τοῦ ἀπαλλᾶξαι Εὔαν ἐκ τῆς ἀρᾶς, καὶ ἐκ πικρίας, θανάτου καὶ τῆς κολάσεως.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Ῥημάτων, τῆς ἀληθείας γέγονας, διὰ λόγου διδαχῆς θεῖος μύστης, ὅτι Χριστοῦ, τοῦ Θεοῦ πέλεις στόμα, καὶ σωτηρίων λογίων διδάσκαλος, καὶ πάντων τῶν αἱρετικῶν, συντριβὴ καταισχύνης πανένδοξε.

Ὡραΐσμα, τῆς Σιὼν σὺ πέφυκας, θαυμαστὸν Ἰουβενάλιε θεῖε· ὅτι λαμπρῶς, ἀνεκήρυξας πᾶσι, τοῦ Θεανθρώπου τὴν δόξαν καὶ γέγονας, κρουνὸς τῆς χάριτος Αὐτοῦ, καταρδεύων πιστοὺς θείοις δόγμασιν.

Ἀπέκρουσας, τὰ τῆς πλάνης δόγματα, καὶ ἀθέων δυσσεβῶν ἐπιθέσεις· ὅτι ἐν σοί, κατεσκήνωσεν ὄντως, τοῦ Παρακλήτου ἡ χάρις πανένδοξε· καὶ ἔσωσας τοὺς εὐσεβεῖς, ἐκ τῆς πλάνης καὶ πάσης αἱρέσεως.

Θεοτοκίον.

Συνέτριψας, ἁμαρτίας βέλεμνα, Θεοτόκε τῇ σαρκώσει τοῦ Λόγου· ὅτι Θεός, ἐν βροτοῖς ἐπεφάνη, καὶ τῷ Σταυρῷ τοῖς ἀνθρώποις δεδώρηται, τὴν λύτρωσιν ἐκ τῶν παθῶν, καὶ εἰρήνην ψυχῆς ἀναφαίρετον.

Διάσωσον, Ἰουβενάλιε πάντας ἡμᾶς Ἱεράρχα, ὅτι πέλεις πρὸς τὸν Θεὸν μεσίτην πανένδοξε, καὶ φύλαξον Πάτερ Σιὼν σὴν πόλιν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Τῆς Σιὼν προστατεύεις ὦ Ἰουβενάλιε, ἐν τῇ ἄνω Σιὼν μεσιτεύων πρὸς Κύριον. Καὶ γὰρ ἐν τῇ γῇ ἠκολούθησας, τοῖς τῶν Πατέρων ἴχνεσιν, ποθῶν τὴν ἐνάρετον ζωήν· διὸ ἔλαβες ὡς ἀμοιβήν, τῆς παῤῥησίας τὴν ἰσχύν, καὶ δογμάτων τὴν φρούρησιν. Πρέσβευε θεοφόρε, σωθῆναι τοὺς σὲ τιμῶντας, ἐκ πειρασμῶν αἱρετικῶν, καὶ παγίδων τοῦ ἀλάστορος.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα.*

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. Ι', 9-16).

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Δεῦτε εὐφημήσωμεν, Ἰουβενάλιον θεῖον, καὶ ᾠδαῖς τιμήσωμεν, Ὀρθοδόξων σύλλογος ὁ φιλάγιος· τὸν Χριστὸν ἅπασι, ὡς Θεὸν καὶ Λόγον, σαρκωθέντα τε ἐκ

Πνεύματος, τοῦ σῶσαι βρότειον, φύσιν τοῦ Ἀδὰμ τοῦ Προπάτορος, ἐκήρυξε Θεάνθρωπον, καθαιρῶν τῆς πλάνης τὴν αἵρεσιν· ὅθεν εὐχαρίστως, βοήσωμεν αὐτῷ χαρμονικῶς· χαῖρε Σιὼν μέγα καύχημα, πιστῶν τε τὸ στήριγμα.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Μακαρίζει ἀξίως καὶ ὑμνεῖ σε τρισμάκαρ τῶν Ὀρθοδόξων λαός· δεήθητι Κυρίου, ὑπὲρ τῶν σὲ τιμώντων, καὶ βοώντων ἐκ πίστεως· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀσωμάτων δυνάμεις καὶ χοροὶ τῶν Ἁγίων συνεορτάζουσν, ὁρῶντες ἐν ἁγίοις, Σιὼν κλεινὸν ποιμένα, ἀσιγήτως δὲ ψάλλουσιν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σωτηρίων δογμάτων μυστηρίων τε γνῶσιν ὁ Ἱεράρχης λαβών, λαὸν τῶν Ὀρθοδόξων, ἐδίδαξε πανσόφως, τῷ Θεῷ ἀναμέλπει τε· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἰαμάτων τὴν χάριν ἀναβλύζουσα Μῆτερ ἀναπηγάζεις πιστοῖς, τὴν ἴασιν καρδίας, διδάσκουσα ἐμφρόνως, τοῦ βοᾶν πρὸς τὸν Κύριον· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Νενικηκότα, τοὺς μωρολόγους τῆς πλάνης, εὐφημοῦμεν Σιὼν τὸν ποιμένα, καὶ δοξολογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἰχνηλατοῦντες, τοῦ φρυκτωροῦ τοὺς ἀγῶνας, Θεανθρώπου κηρύττομεν δόγμα· Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τριαδικόν.

Κυρίαν πάντων, ὁμολογοῦντες Τριάδα, σὺν Ἰουβεναλίῳ ὑμνοῦμεν, καὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὁ Σὲ δοξάσας, ἐκ γηγενῶν Θεοτόκε, Σὲ τιμᾷ ἐν Σιὼν οὐρανίῳ, Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκου.

Δίδου μοι σαῖς πρεσβείαις, Σιὼν κλεινὲ φύλαξ, τῶν Ὀρθοδόξων τὴν πίστιν φυλάττειν ἀεί, ὁμολογεῖν τε τὸν Λόγον, Θεὸν καὶ ἄνθρωπον.

Ἡ χάρις τοῦ Κυρίου, σὲ Σιὼν ἁγίας, ἐν ἀρεταῖς θεαρέστοις, Ἰουβενάλιε, κατακοσμήσασα ὄντως, ποιμένα ἔδειξεν.

Μεγάλων θεοφόρων, σὲ πάντες πατέρων, ἀνακηρύττομεν ὄντως, λαμπρὸν μιμητήν, Ἰουβενάλιε θεῖε, φωστὴρ ταῆς πίστεως.

Ὁμότροπον Πατέρων, σὲ ὁμολογοῦμεν, καὶ διδασκάλοις συνόντα, Χριστοῦ μιμητά, Ἰουβενάλιε θεῖε, πιστῶν τὸ πρότυπον.

Θεοτοκίον.

Ὑμνοῦντες τὸν Υἱόν Σου, Σὲ ὁμολογοῦμεν, ὡς Παναγία Μητέρα, Χριστοῦ τοῦ Θεοῦ, καὶ Ὀρθοδόξων προστάτιν, καὶ καταφύγιον.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ὦ Ἰουβενάλιε θαυμαστέ, Πατέρων τὸ κλέος, τῶν δογμάτων ὁ φρυκτωρός, πρέσβευε τῷ Λόγῳ, ὑπὲρ τῶν σὲ τιμώντων, ῥυσθῆναι ἐκ πταισμάτων, καὶ πάσης θλίψεως.

Αἱρέσεων πλάνην καὶ ἀπειλήν, κάθεῖλες ἐνθέως, καὶ ἐκήρυξας τοῦ Χριστοῦ, τὰ δόγματα Πάτερ, καὶ θείας ἀληθείας, ὡς μέλος τῶν Συνόδων, Ἰουβενάλιε.

Χαίροις ἀληθείας ὑφηγητά, Σιὼν μέγα κλέος, Ὀρθοδόξων ὑπογραμμός· χαίροις πλανωμένων, πολέμιε ἐν λόγοις, καὶ ἔργοις θεοφόρε, Ἰουβενάλιε.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, Σιὼν Ἱεράρχην, τὸν ποιμένα τὸν ἀληθῆ, τῆς πίστεως στῦλον, καὶ κήρυκα δογμάτων, φρουρὸν Ὀρθοδοξίας, Ἰουβενάλιε.

Καρδίας καθάρας καὶ τὴν ψυχήν, πιστῶν Ἐκκλησίας, ἀνεδείχθης μυσταγωγός, ἐν πράξει βιώσας, Χριστοῦ τὴν Βασιλείαν, ἐν ᾗ νῦν σαββατίζεις, Ἰουβενάλιε.

Πάντας τοὺς τιμῶντάς σε εὐσεβῶς, σῇ χάριτι σκέπε, ἐκ κινδύνων καὶ πειρασμῶν, καὶ πάσης παγίδος, αἱρέσεως καὶ πλάνης, ὡς ἔχων παῤῥησίαν, Ἰουβενάλιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα Πατρί...

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν...

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε, τῆς Σιὼν τὸν φρυκτωρόν, τὸν Ἰουβενάλιον λόγοις, καὶ ἐγκωμίων ᾠδαῖς, πάντες εὐφημήσωμεν, καὶ μεγαλύνωμεν, τὸν Χριστὸν γὰρ ἐκήρυξεν, ἐν ἔργοις καὶ λόγοις, δόγματα ἐκράτυνε, πιστοὺς ἐστήριξεν· ὅθεν, τιμηθεὶς ἐκ Κυρίου, πᾶσι τοῖς προστρέχουσι πίστει, ἐκδιδάσκει γνῶσιν τὴν Ὀρθοδόξον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δι' εὐχῶν.